# ΚΑΝΟΝΑ ΠΙΣΤΕΩΣ - MODEL OF FAITH



GREEK ORTHODOX ARCHDIOCESE OF AUSTRALIA
PARISH OF SAINT NICHOLAS MARRICKVILLE
Priest: Fr Michael Tsolakis 0418 883 107 | 9558 4453
www.stnicholas.com.au | FaceBook: Parish St Nicholas Marrickville

## Κυριακή 12 Μαιου 2024
## Κυριακή τοῦ Αντιπάσχα
## (Κυριακή τοῦ Θωμᾶ)

### Ἀπολυτίκιον τῆς Ἑορτῆς

Ἐσφραγισμένου τοῦ μνήματος, ἡ Ζωὴ ἐκ τάφου ἀνέτειλας Χριστὲ ὁ Θεός, καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς Μαθηταῖς ἐπέστης, ἡ πάντων ἀνάστασις· Πνεῦμα εὐθὲς δι' αὐτῶν ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα σου ἔλεος.

### Κοντάκιον τοῦ Πάσχα.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες Ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν· καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ Μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

## Sunday 12 May 2024
## Sunday After Pascha
## (Thomas Sunday)

### Apolytikion of the Feast

The tomb being sealed, You rose from the sepulcher, O Christ God, the Life. And the doors being shut, You came to the disciples, O resurrection of all. Through them You renew a right spirit within us, according to Your great mercy.

### Kontakion of Pascha

Though You went down into the tomb, O Immortal One, yet You brought down the dominion of Hades; and You rose as the victor, O Christ our God; and You called out "Rejoice" to the Myrrh-bearing women, and gave peace to Your Apostles, O Lord who to the fallen grant resurrection.

**ΑΠΟΣΤΟΛΟΣ**
**Πράξεων τῶν Ἀποστόλων**
**(ε΄, 12-20)**

Ἐν ταῖς ἡμέραις ἐκείναις, διὰ τῶν χειρῶν τῶν ἀποστόλων ἐγίνετο σημεῖα καὶ τέρατα ἐντῷ λαῷ πολλὰ · (καὶ ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ Στοᾷ Σολομῶντος. Τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς, ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός· μᾶλλον δὲ προσετίθεντο πιστεύοντες τῷ Κυρίῳ πλήθη ἀνδρῶν τε καὶ γυναικῶν· ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς καὶ τιθέναι ἐπὶ κλινῶν καὶ κραβάττων, ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν. Συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων Ἰερουσαλήμ, φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων, οἵτινες ἐθεραπεύοντο ἅπαντες. Ἀναστὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ, ἡ οὖσα αἵρεσις τῶν Σαδδουκαίων, ἐπλήσθησαν ζήλου καὶ ἐπέβαλον τὰς χεῖρας ἐπὶτοὺς ἀποστόλους καὶ ἔθεντο αὐτοὺς ἐν τη ρήσει δημοσίᾳ. Ἄγγελος δὲ Κυρίου διὰ νυκτὸς ἤνοιξετὰς θύρας τῆς φυλακῆς ἐξαγαγών τε αὐτοὺς εἶπε· Πορεύεσθε καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης.

**EPISTLE**
**Acts of the Apostles**
**(5: 12-20)**

In those days, many signs and wonders were done among the people by the hands of the apostles. And they were all together in Solomon's Portico. None of the rest dared join them, but the people held them in high honor. And more than ever believers were added to the Lord, multitudes both of men and women, so that they even carried out the sick into the streets, and laid them on beds and pallets, that as Peter came by at least his shadow might fall on some of them. The people also gathered from the towns around Jerusalem, bringing the sick and those afflicted with unclean spirits, and they were all healed. But the high priest rose up and all who were with him, that is, the party of the Sadducees, and filled with jealousy they arrested the apostles and put them in the common prison. But at night an angel of the Lord opened the prison doors and brought them out ands aid, "Go and stand in the temple and speak to the people all the words of this Life."

## Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου (κ΄, 19-31)

Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν. καὶ τοῦτο εἰπὼν ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον. εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· Εἰρήνη ὑμῖν. καθὼς ἀπέσταλκέ με ὁ πατήρ, κἀγὼ πέμπω ὑμᾶς. καὶ τοῦτο εἰπὼν ἐνεφύσησε καὶ λέγει αὐτοῖς· Λάβετε Πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται. Θωμᾶς δὲ εἷς ἐκ τῶν δώδεκα ὁλεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν ὅτε ἦλθενὁ Ἰησοῦς. ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί· Ἑωράκαμεν τὸν Κύριον. ὁ δὲ εἶπεν αὐτοῖς· Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐμὴ πιστεύσω. Καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ καὶ Θωμᾶς μετ' αὐτῶν. ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον καὶ εἶπεν· Εἰρήνη ὑμῖν. εἶτα λέγει τῷ Θωμᾷ· Φέρε τὸν δάκτυλόν σου ὧδε καὶ ἴδε τὰς χεῖράς μου, καὶ φέρε τὴν χεῖρά σου καὶ βάλε εἰς τὴν πλευράν μου, καὶ μὴ γίνου ἄπιστος,ἀλλὰ πιστός. καὶ ἀπεκρίθη Θωμᾶς καὶ εἶπεν αὐτῷ· Ὁ Κύριός μου καὶ ὁ Θεός μου. λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὅτι ἑώρακάς με, πεπίστευκας· μακάριοιοἱ μὴ ἰδόντες καὶ πιστεύσαντες. Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ· ταῦτα δὲ γέγραπται ἵνα πιστεύσητε ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

## Holy Gospel according to St John (20:19-31)

On the evening of that day, the first day of the week, the doors being shut where the disciples were for fear of the Jews, Jesus came and stood among them and said to them: "Peace be with you." When He had said this, He showed them His hands and His side. Then the disciples were glad when they saw the Lord. Jesus said to them again, "Peace be with you. As the Father has sent me, even so I send you." And when He had said this, He breathed on them, and said to them: "Receive the Holy Spirit. If you forgive the sins of any, they are forgiven; if you retain the sins of any, they are retained." Now Thomas, one of the twelve, called the Twin, was not with them when Jesus came. So the other disciples told him: "We have seen the Lord." But he said to them: "Unless I see in His hands the print of the nails, and place my finger in the mark of the nails, and place my hand in His side, I will not believe." Eight days later, His disciples were again in the house, and Thomas was with them. The doors were shut, but Jesus came and stood among them, and said: "Peace be with you." Then He said to Thomas, "Put your finger here, and see my hands; and putout your hand, and place it in my side; do not be faithless, but believing." Thomas answered Him, "My Lord and my God!" Jesus said to Him: "Have you believed because you have seen me? Blessed are those who have not seen and yet believe." Now Jesus did many other signs in the presence of the disciples, which are not written in this book; but these are written that you may believe that Jesus is the Christ, the Son of God, and that believing you may have life in His name.

## Τοῦ Πεντηκοσταρίου.

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ δευτέρᾳ ἀπὸ τοῦ Πάσχα, τὰ ἐγκαίνια ἑορτάζομεν τῆς Χριστοῦ Ἀναστάσεως, καὶ τὴν τοῦ ἁγίου Ἀποστόλου Θωμᾶ ψηλάφησιν.

**Στίχοι**

*Εἰ νηδύος κλείς, ἢ τάφου μὴ κωλύει,*
*Σὴν Σῶτερ ὁρμὴν κλεὶς θυρῶν πῶς κωλύσει;*

Ταῖς τοῦ σοῦ Ἀποστόλου Θωμᾶ πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

## Sunday after Pascha

This day is also known as **Antipascha**. This does not mean "*opposed to Pascha,"* but *"in place of Pascha."* Beginning with this first Sunday after Pascha, the Church dedicates every Sunday of the year to the Lord's Resurrection.

And during the period from Pascha to Pentecost we read each day from the Acts of the Holy Apostles. This book gives us an account by Saint Luke of the early days of the Church, dealing mainly with the work first of Saint Peter and then of Saint Paul. Reading this book before Pentecost helps us to prepare for Pentecost and the great change that happened to the Apostles then. It also teaches us the effect of the Resurrection of Christ. It was the teaching of Christ’s Resurrection that had the greatest impact on those who heard it for the first time.